# 19 IUNIE
# ANTONIOS MARKOU

# ACATISTUL SF.IERARH IOAN MAXIMOVICI, ARHIEPISCOPUL SAN FRANCISCO

# ACATISTIER-GR


СТ·ІѠАННЪ
САНФРАН-
ЦІССКІЙ

# Χαιρετισμοί
# Ἁγίου ΙΩΑΝΝΟΥ ΜΑΞΙΜΟΒΙΤΣ Ἀρχιεπισκόπου Σαγκάης καί Ἁγίου Φραγκίσκου[1]

[Ἀντ. Μάρκου]

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ἰωάννην τόν σεπτόν πιστοί τιμήσωμεν,* τόν Σαγκάης καί Φραγκίσκου Ἀρχιποίμενα,* τόν ἀφθαρσίᾳ τιμηθέντα παρά Κυρίου·* Ἐκκλησίας γάρ τυγχάνει τό ἀγλάϊσμα* καί Ῥωσίας ὁ ἀνθός ὁ εὐωδέστατος·* τούτῳ εἴπωμεν·* Χαίροις Πάτερ φιλόθεε.

Ἀνήρ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος ἀληθῶς ἀνεδείχθης, Ἰωάννη Πατήρ ἡμῶν ἀξιάγαστε (ἐκ γ΄) καί τῇ ἀληθῶς οὐρανίᾳ σου βιοτῇ, οὐρανίων δωρεῶν κατηξίωσαι, ὥστε παραμυθεῖν δύνασαι καί στηρίζειν ἐλεεῖν καί θεραπεύειν, δι᾽ ὧν σπεύδεις εἰς βοήθειαν τῶν ἐκβοώντων σοι τοιαῦτα·

Χαῖρε, Ἱεραρχῶν τό θεῖον καλλώπισμα·
χαῖρε, Σαλῶν τιμή καί διάδημα.
Χαῖρε, ὁ Παθῶν τοῦ Κυρίου κῆρυξ ὁ ἔνθερμόος·
χαῖρε, ὁ προπατόρων τῇ πίστει ζηλωτής ὁ πρόθυμος.
Χαῖρε, τό πυρός τῆς πλάνης σβεστήριον·

χαῖρε, τό φωτός οὐρανίου κειμήλιον.
Χαῖρε, τό τῶν λόγων τοῦ Κυρίου ἐκσφράγισμα·
χαῖρε, τό τῶν λημμάτων τοῦ βελίαρ κατάπτωμα.
Χαῖρε, ἥλιε ὁλόφωτε Ἐκκλησίας τοῦ Χριστοῦ·
χαῖρε, στήριγμα ἀκράδαντον τοῦ ποιμνίου τοῦ Θεοῦ.
Χαῖρε, ὁ ὀσμή μύρου οὐρανίου φανείς·
χαῖρε, λαμπάς βίου ἰσαγγέλου ἐπί γῆς.
Χαίροις Πάτερ φιλόθεε.

Βασιλείας οὐρανῶν πολίτης ἔνθεος ἀνεδείχθης δι' ἀσκήσεως, Πάτερ, συντόνου· ἐκ νεότητος γάρ τά τοῦ κόσμου τερπνά παρεῖδες καί τόν Σωτῆρα τῶν ὅλων ἀκολουθῆσαι προέκρινας· πρός Ὅν ἐνθέρμως ἐβόας, πιστῶς ἑπόμενος·
Ἀλληλούϊα.

Γνώσεως τῆς γνησίας ἀνεδείχθης καί μόνης, καθηγητής ἐμπράγματος, Ἰωάννη Πατήρ ἡμῶν, καί ἐν ἐσχάτοις τοῖς χρόνοις θαυματουργός καί ἀδιάφθορος· διό καί φωτί οὐρανίῳ καταύγασον, ὡς παρά Κυρίου κεχαριτωμένος, τάς ψυχάς τῶν ἐκβοώντων σοι·
Χαῖρε, στεῤῥόν τῆς Πίστεως ἔρεισμα·
χαῖρε, λαμπρόν τῆς Ἀληθείας σκήνωμα.
Χαῖρε, ὁ μωρός καί ἀσθενής διά Χριστόν·
χαῖρε, ὁ ἄτιμος, ὡς λέγει Παῦλος, δι' Αὐτόν.
Χαῖρε, δι' οὗ ἡ κακία σοβεῖται·
χαῖρε, δι' οὗ ἡ θεία χάρις δωρεῖται.

Χαῖρε, ὁ μωρός διά τήν ἀγάπην τοῦ Κυρίου·
χαῖρε, ὁ ἐν σαρκί κῆρυξ τοῦ Εὐαγγελίου.
Χαῖρε, ὁ λυτήρ συνοχῆς ψυχοφθόρου·
χαῖρε, ὁ δοτήρ χαρμονῆς θεοδότου.
Χαῖρε, ὁ παριδών τοῦ σοῦ γένους τόν ὄλβον·
χαῖρε, ὁ ἐκδιδάσκων τοῦ Σωτῆρος τόν νόμον.
Χαίροις Πάτερ φιλόθεε.

Δόξαν τήν τοῦ Δεσπότου ὁλοτρόπως ποθήσας, θέατρον ἐν τῷ κόσμῳ ἐγεννήθης, ταπεινῶν ἑαυτόν, Ἰωάννη θεσπέσιε· σαλότητος γάρ τόν σταυρόν ἁρμάμενος καί ἐν αὐτῷ τόν ὑπερήφανον λογισμόν ἀνελών, πλουσίαν τήν τῶν θαυμάτων χάριν ἔλαβες, δι' ἧς καί σπεύδεις εἰς εὐεργεσίαν τῶν Κυρίῳ ψαλλόντων·
Ἀλληλούϊα.

Ἔθελξας σοῖς λόγοις, Πάτερ ἀοίδημε, εὐσεβῶν τό σύστημα καί πρός νομάς σωτηρίους αὐτό καθοδήγησας, ἐν Ἀσίᾳ τε καί Ἑσπερίᾳ καί γῇ Ἀμερικανίδι, ἐραστής θείων πράξεων σύ πρῶτος δειχθείς, ἑτέρους κατόπιν διδάξας· διό καί παρ' ἡμῶν ἀκούεις τοιαῦτα·
Χαῖρε, ὁ μεγάλος ἐν τῇ ἀσκήσει·
χαῖρε, ὁ μέγιστος ἐν τῇ φρονήσει.
Χαῖρε, τό ὑπέρ Χριστοῦ ἐθελούσιον θῦμα·
χαῖρε, τό κατά διαβόλου καιριότατον πλῆγμα.
Χαῖρε, κῆρυξ διαπρύσιε τῆς ἀγάπης τοῦ Θεοῦ·

χαῖρε, μάχαιρα ἀμφίστομε τῆς ἀπάτης τοῦ ἐχθροῦ.

Χαῖρε, ἀηδών θεοβρύτου συνάρσεως·

χαῖρε, λαμπηδών οὐρανίου ἐκφάνσεως.

Χαῖρε, ὁ νεκρωσάμενος σαρκός τά σκιρτήματα·

χαιρε, ὁ θεασάμενος οὐρανοῦ τά σκηνώματα.

Χαῖρε, ὁ συναθροίζων τούς πιστούς είς πανήγυριν·

χαῖρε, ὁ κατευφραίνων Ὀρθοδόξων ὁμήγυριν.

Χαίροις Πάτερ φιλόθεε.

Ζωῆς τῆς ἀλήκτου ἐραστής ἐνεφάνης, Ἰωάννη μακάριε· διό ἀπό νεότητος τά τοῦ κόσμου ἡδέα, ὡς ῥέοντα καί παρερχόμενα παρεῖδες καί μοναστῶν τό πολίτευμα καί τούτου τήν εὔκλειαν ἐπέλεξας, διά τήν τῆς ψυχῆς ὠφέλειαν, τῷ Κυρίῳ ἀνακράζων·

Ἀλληλούϊα.

Ἤστραψας τῷ τῆς Ἐκκλησίας στερεώματι, «ἐγώ μωρός διά Χριστόν» ἐμπραγμάτως κηρύττων, Ἰωάννη φιλάγιε· τήν πτωχείαν γάρ τήν τοῦ Χριστοῦ μιμησάμενος, πάντων ὑπερεῖδες τῶν ἐπιγείων, τήν οὐράνιον ἐκζητήσας μακαριότητα· μακαρίζοντες οὖν σε τόν Ποιμένα τόν γνήσιον, ἀπό καρδίας μετ' εὐφροσύνης λέγομεν·

Χαῖρε, ἐγκρατείας κανών ὁ εὐθύτατος·

χαῖρε, ἀπαθείας λειμών ὁ μυρίπνοος.

Χαῖρε, τῆς τοῦ Χριστοῦ ἀγάπης τό ἔσοπτρον·

χαῖρε, τῆς τοῦ σατάν ἀπάτης τό δρέπανον.
Χαῖρε, ὁ νεοφανής ἀστήρ τῆς ἁγίας ἡμῶν Πίστεως·
χαῖρε, ὁ δεινός ὀλετήρ τῆς ματαίας φρονήσεως.
Χαῖρε, ὁ λόγος τῆς τοῦ Χριστοῦ Ἐκκλησίας·
χαῖρε, ἡ πηγή τῆς τῶν πτωχῶν παραμυθίας.
Χαῖρε, Ἰησοῦ ἁγιώτατε θεράπων·
χαῖρε, ναοῦ τῆς Θεοτόκου δομήτωρ.
Χαῖρε, ὁ ἐν ἀγῶσι ἱεροῖς διαπρέψας·
χαῖρε, ὁ ἀντικειμένου τήν ἰσχύν θριαμβεύσας.
Χαίροις Πάτερ φιλόθεε.

Θείου φωτός δοχεῖον, Ἰωάννη παμμάκαρ, τῷ κόσμῳ ἐφάνης, διά βίου ἐναρέτου καί γνησιότητος Πίστεως· διό καί θαυμάτων τήν χάριν ἐδέξω καί ἰάσεων πηγήν τό σόν Λείψανον, Χριστός ὁ Θεός τῇ Ἐκκλησίᾳ ἐδωρήσατο· Αὐτῷ οὖν ψάλλομεν·
Ἀλληλούϊα.

Ἱεράρχης μιμητής ἀληθῶς τοῦ Ἀρχιερέως τοῦ Μόνου καί Μεγάλου, διά βίου, Πάτερ, ἀναδέδειξαι· Τούτου γάρ τάς τρίβους ἠκολούθησας καί Αὐτοῦ τόν λαόν θεοφιλῶς ἐποίμανας, εἰς νομάς σωτηρίους αὐλίζων καί ἐπί πόαν οὐράνιον· ὅθεν τιμῶντες σε πίστει σοί μέλπομεν·
Χαῖρε, ὁ ἐν ἀγῶσι στερρός καί ἀήττητος·
χαῖρε, ὁ ἐν πόνοις ἀσκητικοῖς ὁ πρόθυμος.
Χαῖρε, ἡ σάλπιγξ τῆς εὐσεβείας·
χαῖρε, ὁ κῆρυξ τῆς Ἀληθείας.

Χαῖρε, ὁ ὑπάρχων τοῦ Χριστοῦ εὐωδία·
χαῖρε, ὁ ἀπελαύνων πᾶσαν κακῶν δυσωδίαν.
Χαῖρε, νόμων τῶν τοῦ Πνεύματος ὁ ἀσφαλής ὑφηγητής·
χαῖρε, ματαίων κόσμου σχέσεων ὁ ἀληθής ἐκμειωτής.
Χαῖρε, ὁ στερρός τῆς Ἐκκλησίας πύργος·
χαῖρε, ἡ μεγίστη τῆς ἀγνωσίας πτῶσις.
Χαῖρε, δι'ὅν ἡ Ἐκκλησία χορεύει·
χαῖρε, πρός ὅν ἐκβοῶσα προστρέχει.
Χαίροις Πάτερ φιλόθεε.

Κῆρυξ τῆς χάριτος διά βίου καί σημείων ὤφθης πηγή, Ἰωάννη, τῆς Ῥωσίας βλαστέ καί ἀνάστημα· διό νῦν τιμῶμεν σε σύν πᾶσι τοῖς ἐν αὐτῇ καί ἐξ αὐτῆς Ἁγίοις, μεθ' ὧν ἐν οὐρανοῖς συναγάλλει· τῷ δέ Κυρίῳ τῷ ὑμᾶς δοξάσαντι ἐκβοῶμεν·
Ἀλληλούϊα.

Λύρα τοῦ Πνεύματος δι'ἐγκρατείας ἐδείχθης· καί ἀγάπης τῆς θείας τήν φλόγα δεξάμενος, μαρτυρίου τόν δρόμον διά βίου τῇ προαιρέσει διήνυσας, μαρτυρίαν προσφέρων τοῖς πᾶσι σωτήριον· τά σά ὅθεν παλαίσματα θαυμάζοντες, πίστει σοί μέλπομεν·
Χαῖρε, ὁ ἀγνοήσας τό φθειρόμενον σῶμα·
χαῖρε, ὁ συνειδήσει ἐκχύσας σόν αἷμα.
Χαῖρε, ὁ πρός ὕψος ἁγιότητος ἀνελθών·
χαῖρε, ὁ πληρούμενος χαρισμάτων θεϊκῶν.

Χαῖρε, ὁ ζωῆς τῆς ἁγίας διδάσκαλος·
χαῖρε, ὁ Ἱεραρχῶν καί Ὁσίων ἐφάμιλλος.
Χαῖρε, Ἰωάννου τοῦ Προδρόμου ὁμόζηλε·
χαῖρε, Ἰωάννου τοῦ Τομπόλσκ ὁμώνυμε.
Χαῖρε, ὁ πειρασμῶν φανείς ἰσχυρότερος·
χαῖρε, ὁ ἡδέων δειχθείς ἀνώτερος.
Χαῖρε, ὁ ἐν Ἀθήναις πρός σήν ἱκέτιδα σπεῦσας·
χαῖρε, ὁ ἀσθενείας αὐτῆς τήν ἀπειλήν φυγαδεύσας.
Χαίροις Πάτερ φιλόθεε.

Μελλόντων, Πάτερ, ἀγαθῶν βουλόμενος τυχεῖν, διά βίου τόν Λόγον ηὐηρέστησας, δι' ἔργων ἀγαθῶν καί ψυχῆς φιλανθρώπου· μετά τήν ἐκ τοῦ κόσμου ἔξοδον δέ, εὐσπλάχνως εὐεργετεῖς τάς σειράς τῶν τῇ σῇ λάρνακι προπιπτόντων καί Κυρίῳ βοώντων·
Ἀλληλούϊα.

Νίκην ἔσχες κατά τοῦ βελίαρ, Πάτερ ἀοίδημε, ὡς καί κατά τοῦ κόσμου καί τοῦ τῆς σαρκός φρονήματος· ἀσκητικοῖς γάρ ἀγῶσι ἐν τῷ κελλίῳ, ὡς ἐν ἐρήμῳ, τόν ἀρχαῖον κατήσχυνας πτερνιστήν· διό τήν σήν πρός Κύριον ἐξαιτούμενοι πρεσβείαν, χρεωστικῶς σοί ψάλλομεν τοιαῦτα·
Χαῖρε, ὁ διά σημείων μετά μόρον κηρυχθείς·
χαῖρε, ὁ κατά κόρον τοῦ λαοῦ Πατήρ δειχθείς.
Χαῖρε, εἰκών φωταυγής ἀῤῥαγοῦς καρτερίας·
χαῖρε, ἄνθος μυστικόν οὐρανῶν εὐθαλείας.

Χαῖρε, Ἱεράρχα τοῦ Κυρίου ἐνθεώτατε·
χαῖρε, καθαιρέτα τοῦ ἐχθροῦ γενναιότατε.
Χαῖρε, ὁ παθῶν ἐκτίλων τάς ἀκάνθας·
χαῖρε, ὁ ψυχῶν ἀρδεύων τάς ἀρρούρας.
Χαῖρε, ὁ δαιμόνων τήν ἀχλύν ἐκδιώκων·
χαῖρε, ὁ ἀνθρώπων τήν πληθύν διασώζων.
Χαῖρε, τῆς ἀφθαρσίας σωτηριῶδες παράδειγμα·
χαῖρε, τῆς εὐσεβείας γλυκύκαρπον ὑπόδειγμα.
Χαίροις Πάτερ φιλόθεε.

Ξενότροπος ὁ βίος σου, Ἰωάννη, δι' οὗ τόν παλαμναῖον κατήσχυνας ἐχθρόν καί φεγγοβόλος ἀστήρ τῆς Ἐκκλησίας ἀνεδείχθης, πρός σέλας ὁδηγῶν τούς πιστούς, σημείοις κηρυχθείς· διό πάσης ἡμᾶς βλάβης διάσωσον, τούς τῷ Παντεπόπτῃ Χριστῷ βοῶντας·
Ἀλληλούϊα.

Ὅλως ἡγιασμένος ἐνεφάνης, ὁ τῆξας προθύμως τό σῶμα, δι' ἀσκήσεως ἀγώνων καί ταπεινώσεως ἀκροτάτης, ἵνα ψυχῆς ἀνορθώσῃς τάς ἐν λιθάργῳ δυνάμεις· ὅθεν σημείων ἐξαισίων ἐργάτης ἐδείχθης καί ἰαμάτων πηγή πολύκρουνος, ἰσχύν ἡμῖν παρέχων τοῖς ψάλλουσι·
Χαῖρε, ὁ πολλῶν ἀσθενῶν θεραπεία·
χαῖρε, προσαχθείς τῷ Τυθέντι θυσία.
Χαῖρε, ὁδηγέ τῶν πιστῶν ὁ θεόσοφος·
χαῖρε, χορηγέ συμπαθῶς τῶν ἰάσεων.

Χαῖρε, Χριστοῦ ἐκλόγιον τό θεῖον·
χαῖρε, τό Ἐκείνου φωτός δοχεῖον.
Χαῖρε, λαμπηδών τῆς Χριστοῦ Ἐκκλησίας·
χαῖρε, ἀνθηδών τῆς ἐν τῷ πόλῳ εὐκλείας.
Χαῖρε, ὁ τῆς Ῥωσίας ἱερώτατος βλαστός·
χαῖρε, ὁ Καλιφορνίας θεοδώρητος φρουρός.
Χαῖρε, ὁ ἐν Σαγκάη ποτέ ὀρφανοτρόφος·
χαῖρε, ὁ τῆς Φραγκίσκου πόλεως οἰακοστρόφος.
Χαίροις Πάτερ φιλόθεε.

Πληγή τῷ βελίαρ πέλει ὁ σός λόγος καί θλιβομένων ψυχῶν παραμυθία, Ἰωάννη Πάτερ Μαξίμοβιτς· διό τῇ Θεοτόκῳ, ὡς μόνης Χαρᾶς τῶν θλιβομένων τοῦ κόσμου, δόμον ἀνήγειρας, θεόκλητε, πρός δόξαν Αὐτῆς καί αἶνον τοῦ ἐν Τριάδι Θεοῦ, πρός Ὅν εὐγνωμόνως κράζομεν·
Ἀλληλούϊα.

Ῥωσίας γόνος εὐκλεής ἐνυπάρχων, Ἀπόστολος τῷ κόσμῳ ἐνεφάνης, Ἰωάννη Φραγκίσκου Ἀρχιθύτα, τόν λόγον τοῦ Λόγου κηρύττων τοῖς πέρασι· Ἐκείνου γάρ τά ἐντάλματα σαυτῷ ἐφαρμόσας πρῶτον, ταῦτα ἑτέροις ἐμπραγμάτως ἐκήρυξας ὕστερον· ὅθεν ἡ Ἐκκλησία τιμῶσα σε, βοᾷ συμφώνως·
Χαῖρε, δοχεῖον τῆς τοῦ Πνεύματος χάριτος·
χαῖρε, ταμεῖον τῆς Αὐτοῦ ἁγιότητος.
Χαῖρε, τῆς ἀγάπης τῆς θείας θησαύρσιμα·
χαῖρε, τῆς πτωχείας Κυρίου ἐκτύπωμα.

Χαῖρε, λαμπάς τῆς θείας καθάρσεως·
χαῖρε, ὁδηγέ τῆς ψυχῶν ἀνατάσεως.
Χαῖρε, δόξα καί ἀντίληψις Ὀρθοδόξων εὐσεβῶν·
χαῖρε, σκέπη καί κραταίωμα τῶν ὑφ'ἥλιον εὐλαβῶν.
Χαῖρε, ὁ Ἠλιοῦ τήν νηστείαν μιμησάμενος·
χαῖρε, ὁ οὐρανοῦ διό τήν χάριν δεξάμενος.
Χαῖρε, ὁ ἀρετῶν τοῖς μύροις εὐωδιάζων·
χαῖρε, ὁ τήν ἀχλύν τῶν παθῶν καταυγάζων.
Χαίροις Πάτερ φιλόθεε.

Σωτηρίας τούς λόγους τῇ σῇ ποίμνῃ, Ἰωάννη, διά βίου ἁγίου ἐμπραγμάτως ἐκήρυξας· μετά μόρον δέ ἀδιάφθορον σόν σκῆνος, ὡς πηγήν ἀέναον σημείων, ἡμῖν κατέλειπες, τοῖς προθύμως προσκύπτουσι αὐτῷ, Ὅσιε, καί τῷ Κυρίῳ βοώντων·
Ἀλληλούϊα.

Ταμεῖον τῆς τοῦ Παρακλήτου χάριτος καί δοχεῖον τοῦ Τούτου φωτός, δι' ἀγώνων συντόνων, Πάτερ, ἐνεφάνης· διό τήν δωρεάν ἔλαβες, τοῦ κουφίζειν σαρκός τάς ἀλγηδόνας καί ψυχῶν τά τε τραύματα, τῶν πρός τό σόν μετά πίστεως προσφευγόντων τέμενος καί μετ' ἐλπίδος ἐγκωμιαστικῶς σοι βοώντων·
Χαῖρε, Ῥωσίας Ἁγίας τό γέρας·
χαῖρε, Ὀρθοδοξίας λαμπαδοῦχος ὁ μέγας.
Χαῖρε, ὁ ἀνελών τάς τῆς σαρκός ὀρέξεις·

χαῖρε, ὁ καθελών τάς τῆς πλάνης θέσεις.
Χαῖρε, ὁ Χριστοῦ πράξει κηρύξας τό ὄνομα·
χαῖρε, ὁ τῆς χάριτος Αὐτοῦ δειχθείς σκήνωμα.
Χαῖρε, τῆς ἀγάπης τῆς θείας μνημεῖον·
χαῖρε, τῆς πατρώας εὐσεβείας ταμεῖον.
Χαῖρε, ὁ ἀποστάς ἐνοιῶν ἐπιγείων·
χαῖρε, ὁ πλησθείς δωρεῶν οὐρανίων.
Χαῖρε, ὁ Χριστοῦ καθορῶν τήν λαμπρότητα·
χαῖρε, ὁ σατάν καθαιρών τήν κακότητα.
Χαίροις Πάτερ φιλόθεε.

Ὑμνεῖ σου μέν, Πάτερ, τήν ἀεί μένουσαν μνήμην, ἡ ὑπ' οὐρανόν ἐν ἀγῶνι Ἐκκλησία, μετά τῆς ἄνω ἐν θριάμβῳ καί δόξῃ Ἱερουσαλήμ· ἡμεῖς δέ προσερχόμεθα τῷ τῆς Πανάγνου Μαρίας τεμένει, ἔνθα κύπτοντες γόνυ πρό Λειψάνου σου θήκης, Κυρίῳ βοῶμεν·
Ἀλληλούϊα.

Φλέγει βελίαρ τήν ἰσχύν, ἡ ἐνοικοῦσα τῷ λειψάνῳ σου χάρις, τῆς Φραγκίσκου συνάξεως τοῦ Κυρίου Πρόεδρε· ἁγιάζει δέ τούς πίστει αὐτῷ προσιόντας, ἐν οἷς καί ἡμᾶς σύνταξον, Ἅγιε, και τούτῳ ἐκ πόθῳ προσκυνοῦντας· ὅθεν ἡμεῖς, καθηκόντως σοι τῷ τοῦ Δεσπότου θεράποντι, βοῶμεν λέγοντες·
Χαῖρε, κανών ἀδιαλείπτου ἀσκήσεως·
χαῖρε, λαμπάς ἐνθέου φρονήσεως.
Χαῖρε, γεωργίας καινῆς τό ἀπάνθισμα·

χαῖρε, οὐρανίας πατρίδος τό πόλισμα.
Χαῖρε, ὁ σαρκός τάς ἀλγειδόνας κουφίζων·
χαῖρε, ὁ ἁμαρτανόντων τόν βίον ῥυθμίζων.
Χαῖρε, ὁ θαυμάτων τό δῶρον δεξάμενος·
χαῖρε, ὁ ἀκαθαρσίας τά σμήνη τρεψάμενος.
Χαῖρε, εἰκών πραότητος ἔμψυχος·
χαῖρε, ἐπιπλάστου μωρίας ὁ ἔμπλεος.
Χαῖρε, δογμάτων Ὀρθοδόξων ἐκσφράγισμα·
χαῖρε, νεωτεριζόντων τῆς πλάνης καταπτωμα.
Χαίροις Πάτερ φιλόθεε.

Χαίρων τῆς ζωῆς τῆς ἀλήκτου ἐν πόλῳ ἀπολαύεις, σύν πάσῃ ψυχῇ οἷα τόν Κύριον ηὐηρέστησε καί πάντα τά τῶν Ἀσωμάτων τάγματα· ὅθεν ἐκ πάσης ἀπειλῆς καί ὀργῆς ἐπερχομένης ἡμᾶς ῥῦσαι, τούς πόθῳ τήν σήν μνήμην τελοῦντας καί τῷ Κυρίῳ ᾄδοντας·
Ἀλληλούϊα.

Ψάλλομεν οἱ πιστοί Ἰωάννου τοῦ Μαξίμοβιτς τήν ἀεί μένουσαν δόξαν· θαυματουργός μέν ἐφάνη ἐν αἰῶνι ἐσχάτῳ, τῷ ἀποστάτῃ καί ἀπίστῳ, ἀδιάφθορον δέ σκήνωμα τό αὐτοῦ, ἡμῖν τοῖς αὐτοῦ ἱκέταις, Κύριος κατέλειπεν, ὡς παραμυθίας πηγήν· διό τά νῦν ὑφ' ἡμῶν μακαρίζεται οὕτως·
Χαῖρε, ἀστήρ νεόφωτε τοῦ νοητοῦ στερεώματος·
χαῖρε, ὑψίστη ἀναίρεσις τοῦ δεινοῦ ἡμῶν πτώματος.

Χαῖρε, λαμπάς βίου τοῦ ἰσαγγέλου·
χαῖρε, κρατήρ μύρου τοῦ οὐρανίου.
Χαῖρε, ὁ πλουτίσας τῶν Ἁγίων τάς δέλτους·
χαῖρε, ὁ ἀνεγείρας τῇ Παρθένῳ τόν δόμον.
Χαῖρε, ῥεῖθρον καθαρώτατον ναμάτων τῶν μυστικῶν·
χαῖρε, ἄνθος εὐωδέστατον τῆς Βασιλείας Οὐρανῶν.
Χαῖρε, τῆςδιακρίσεως κανών ὁ εὐθύταος·
χαιρε, τῆς ἐγκρατείας λειμών ὁ μυρίπνοος.
Χαῖρε, χαιρετισμοῦ τοῦ ἐμοῦ ὁ συλλήπτωρ·
χαῖρε, ὁ τῆς ἐμῆς γαμετῆς ἀντιλήπτωρ.
Χαίροις Πάτερ φιλόθεε.

Ὦ σεπτέ Ἰωάννη, Ἀρχιθύτα Σαγκάης καί τῆς τοῦ Φραγκίσκου πόλεως Πατήρ καί Ποιμήν τε (γ΄), ἡμῶν τῶν τιμώντων σε μή ἐπιλάθου, ἀλλά σπεῦσον ὡς ἀγαθός, κηδόμενος σῶν τέκνων, καί κάμψον τῇ πρεσβείᾳ σου Χριστόν τόν Κύριον, ἵνα πταισμάτων δώῃ ἡμῖν συγχώρησιν, τοῖς Αὐτῷ ἄδουσι·
Ἀλληλούϊα.

Στίχοι.

*Σοῦ δέομαι, σεπτέ, Ἰωάννη Πάτερ,*
*φώτισον κἀμοῦ τῆς διανοίας σκότος.*
*Ἐνίσχυσον δέ, κάλλιστε, θεοφιλῶς ὁδεύειν,*
*ὁδόν τήν φέρουσαν, εὐχαῖς σου, ἐπί πόλον.*

www.tezaurliturgic.ro

[1] Ἐποιήθησαν κατά Ἰανουάριον 1996, συνεπείᾳ ἐμφανίσεως τοῦ Ἁγίου εἰς τήν κινδυ-νεύουσαν ἀσθενή Μ. Μ., νοσηλευομένην εἰς τό Νοσοκομεῖον ΕΥΑΓΓΕΛΙΣΜΟΣ τῶν Ἀθηνῶν, τῆς ὁποίας θαυμαστῷ τῷ τρόπῳ ἀπεκατέστησε τήν ὑγείαν. Βλ. Περιοδικόν Orthodox Tradition, τ. 1996.